Οὗτος (Μαυίας) τὴν νῆσον Ῥόδον καταλαβὼν καθεῖλε τὸν ἐν αὐτῇ κολοσσὸν μετὰ χίλια τξ´ ἔτη τῆς αὐτοῦ ιδρύσεως, ὃν Ἰουδαῖος τις ἔμπορος ὠνησάμενος Ἐδεσσηνός, ϡ´ καμήλους ἐφόρτωσεν αὐτοῦ τὸν χαλκόν.
...
(21) Ἐλθὼν δὲ ἐν τῇ Ῥόδῳ καθεῖλεν τὸν κολοσσὸν τὸν ἐν αὐτῇ ἱστάμενον. Ἄγαλμα δὲ ἦν τοῦ ἡλίου χαλκοῦν κεχρυσωμένον, ἀπὸ κεφαλῆς ἕως ποδῶν ἔχουν ὕψος πήχεις π´ καὶ πλάτος ἀναλόγως τοῦ ὕψους, καθὼς μαρτυρεῖ τὸ ἐπίγραμμα τὸ πρὸς τὴν βάσιν τῶν ποδῶν αὐτοῦ γεγραμμένον, ἔχον οὕτως·

Τὸν ἐν Ῥόδῳ κολοσσὸν ὀκτάκις δέκα
Λάχης ἐποίει πηχέων, ὁ Λίνδιος.

Ἔλαβεν δὲ τὸν χαλκὸν αὐτοῦ καὶ διεπέρασεν αὐτὸν ἐν Συρίᾳ. Καὶ ἔστησεν αὐτὸν εἰς ἀγορὰν παντὶ τῷ βουλομένῳ· ὠνήσατο δὲ αὐτὸν Ἑβραῖος Ἐδεσσηνός, ἐπιφορτώσας αὐτὸν ἀπὸ θαλάσσης καμήλους ϡπ´.

Constantin VII. Porphyrogénète, Livre de l'administration impériale, 20f.21